# 86. PETER’S CONFESSION (Matt-Mk Identicals)

| Matt 16:13-20 | Mark 8:27-30 |
|---|---|
| Ἐλθὼν δὲ ὁ Ἰησοῦς | Καὶ ἐξῆλθεν ὁ Ἰησοῦς |
| | καὶ οἱ μαθηταὶ αὐτοῦ |
| εἰς τὰ μέρη | εἰς τὰς κώμας |
| Καισαρείας τῆς Φιλίππου | Καισαρείας τῆς Φιλίππου· |
| ἠρώτα | καὶ ἐν τῇ ὁδῷ ἐπηρώτα |
| τοὺς μαθητὰς αὐτοῦ | τοὺς μαθητὰς αὐτοῦ |
| λέγων, | λέγων αὐτοῖς, |
| Τίνα λέγουσιν οἱ ἄνθρωποι | Τίνα με λέγουσιν οἱ ἄνθρωποι |
| εἶναι τὸν υἱὸν τοῦ ἀνθρώπου | εἶναι |
| 14 οἱ δὲ εἶπαν, | 28 οἱ δὲ εἶπαν αὐτῷ λέγοντες |
| Οἱ μὲν | ὅτι |
| Ἰωάννην τὸν βαπτιστήν, | Ἰωάννην τὸν βαπτιστήν, |
| ἄλλοι δὲ Ἠλίαν, | καὶ ἄλλοι, Ἠλίαν, |
| ἕτεροι δὲ Ἰερεμίαν ἢ | ἄλλοι δὲ ὅτι |
| ἕνα τῶν προφητῶν. | εἷς τῶν προφητῶν. |
| 15 λέγει αὐτοῖς, | 29 καὶ αὐτὸς ἐπηρώτα αὐτούς, |
| Ὑμεῖς δὲ τίνα με λέγετε εἶναι | Ὑμεῖς δὲ τίνα με λέγετε εἶναι |
| 16 ἀποκριθεὶς δὲ Σίμων Πέτρος | ἀποκριθεὶς ὁ Πέτρος |
| εἶπεν, | λέγει αὐτῷ, |
| Σὺ εἶ ὁ Χριστὸς | Σὺ εἶ ὁ Χριστός. |
| ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος. | |
| 17 ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτῷ, Μακάριος εἶ, Σίμων Βαριωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέν σοι ἀλλ ὁ πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς. 18 κἀγὼ δέ σοι λέγω ὅτι σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. 19 δώσω σοι τὰς κλεῖδας τῆς βασιλείας τῶν οὐρανῶν, καὶ ὃ ἐὰν δήσῃς ἐπὶ τῆς γῆς ἔσται δεδεμένον ἐν τοῖς οὐρανοῖς, καὶ ὃ ἐὰν λύσῃς ἐπὶ τῆς γῆς ἔσται λελυμένον ἐν τοῖς οὐρανοῖς. | |
| 20 τότε διεστείλατο τοῖς μαθηταῖς | 30 καὶ ἐπετίμησεν αὐτοῖς |
| ἵνα μηδενὶ εἴπωσιν | ἵνα μηδενὶ λέγωσιν |
| ὅτι αὐτός ἐστιν ὁ Χριστός. | περὶ αὐτοῦ. |

80 words out of 231 words = 35%